# [Declamatio amatoria - suite]

**Auteur : Foucault, Michel**

## Présentation de la fiche

Coteb023_f0971
SourceBoite_023-26-chem | Démosthène et [... ?]
LangueFrançais
TypeFicheLecture
RelationNumérisation d'un manuscrit original consultable à la BnF, département des Manuscrits, cote NAF 28730

## Références éditoriales

Éditeuréquipe FFL (projet ANR *Fiches de lecture de Michel Foucault*) ; projet EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle).
Droits

- Image : Avec l'autorisation des ayants droit de Michel Foucault. Tous droits réservés pour la réutilisation des images.
- Notice : équipe FFL ; projet EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle). Licence Creative Commons Attribution – Partage à l'Identique 3.0 (CC BY-SA 3.0 FR).

Notice créée par équipe FFL Notice créée le 19/03/2021 Dernière modification le 23/04/2021

971



πόλιν οὕτω καλῶς καὶ φιλανθρώπως διοικήσαντα καὶ κύριον αὐτῆς καταστάντα, ὥστ' εἰς ἅπαντας τὴν ἐκείνου μνήμην διενεγκεῖν, ὃς ἐν ἀρχῇ καταφρονούμενος ἐκ τοῦ Πλάτωνι πλησιάσαι τοσαύτην ἔλαβεν ἐπίδοσιν. (47) Καὶ τούτων οὐδὲν ἀλόγως ἀποβέβηκε. πολὺ γὰρ ἦν ἀτοπώτερον, εἰ τὰ μὲν μικρὰ δι' ἐπιστήμης καὶ μελέτης ἠναγκαζόμεθα ἐπιτελεῖν, τὰ δὲ μέγιστ' ἄνευ ταύτης τῆς πραγματείας ἠδυνάμεθα πράττειν. περὶ μὲν οὖν τούτων οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν. οὐδὲ γὰρ ἐξ ἀρχῆς ὡς παντελῶς ἀπείρως ἔχοντός σου περὶ αὐτῶν ἐμνήσθην, ἀλλ' ἡγούμενος τὰς τοιαύτας παρακλήσεις τοὺς μὲν ἀγνοοῦντας προτρέπειν τοὺς δ' εἰδότας παροξύνειν. (48) Μηδὲν δὲ ὑπολάβῃς τοιοῦτον, ὡς ἄρ' ἐγὼ ταῦτ' εἴρηκα διδάξειν αὐτὸς ἐπαγγελλόμενός σέ τι τούτων. οὐ γὰρ ἂν αἰσχυνθείην εἰπὼν ὅτι πολλὰ μαθεῖν αὐτὸς ἔτι δέομαι, καὶ μᾶλλον ἀγωνιστὴς προῄρημαι τῶν πολλῶν ἢ διδάσκαλος εἶναι τῶν ἄλλων. οὐχ ὡς ἀναινόμενος δὲ ταῦτα διαιροῦμαι τὴν τῶν σοφιστεύειν ἑλομένων δόξαν, ἀλλ' ὅτι τἀληθὲς 1416 τοῦτον ἔχον τυγχάνει τὸν τρόπον, (49) ἐπεὶ σύνοιδά γε πολλοὺς μὲν ἐξ ἀδόξων καὶ ταπεινῶν ἐπιφανεῖς διὰ τῆς πραγματείας ταύτης γεγενημένους, Σόλωνα δὲ καὶ ζῶντα καὶ τελευτήσαντα μεγίστης δόξης ἠξιωμένον, ὃς οὐκ ἀπεληλαμένος τῶν ἄλλων τιμῶν, ἀλλὰ τῆς μὲν ἀνδρείας τὸ πρὸς Μεγαρέας τρόπαιον ὑπόμνημα καταλιπών, τῆς δ' εὐβουλίας τὴν Σαλαμῖνος κομιδήν, (50) τῆς δ' ἄλλης συνέσεως τοὺς νόμους οἷς ἔτι καὶ νῦν οἱ πλεῖστοι τῶν Ἑλλήνων χρώμενοι διατελοῦσιν, ὅμως τοσούτων αὐτῷ καλῶν ὑπαρχόντων ἐπ' οὐδενὶ μᾶλλον ἐσπούδασεν ἢ τῶν ἑπτὰ σοφιστῶν ὅπως γένηται, νομίζων τὴν φιλοσοφίαν οὐκ ὄνειδος ἀλλὰ τιμὴν τοῖς χρωμένοις φέρειν, καλῶς ἐγνωκὼς αὐτὸ τοῦτο, οὐχ ἧττον ἢ καὶ τἆλλα, ἐφ' οἷς διήνεγκεν.

51. Ἐγὼ μὲν οὖν οὔτ' αὐτὸς ἄλλως γιγνώσκω, σοί τε παραινῶ φιλοσοφεῖν, μεμνημένῳ τῶν ἐξ ἀρχῆς ὑπαρξάντων σαυτῷ. τούτου γὰρ ἕνεκα διῆλθον ἐν ἀρχῇ τοῦ λόγου κἀγὼ περὶ αὐτῶν, οὐχ ὡς ἐκ τοῦ τὴν σὴν φύσιν ἐπαινεῖν ἀνακτήσεσθαί σε προσδοκῶν, ἀλλ' ἵνα μᾶλλον προτρέψω σε πρὸς τὴν φιλοσοφίαν, ἐὰν † μὴ παρὰ μικρὸν ποιήσῃ, μηδ' ἐπὶ τοῖς ὑπάρχουσιν ἀγαθοῖς μέγα φρονήσας τῶν μελλόντων ὀλιγωρήσῃς. (52) Μηδ' εἰ τῶν ἐντυγχανόντων κρείττων εἶ, μηδὲν τῶν ἄλλων ζήτει διενεγκεῖν, ἀλλ' ἡγοῦ κράτιστον μὲν εἶναι τὸ πρωτεύειν ἐν ἅπασι, τούτου δ' ὀρεγόμενον ὀφθῆναι μᾶλλον συμφέρειν ἢ προέχοντα ἐν τοῖς τυχοῦσι, καὶ μὴ καταισχύνῃς τὴν φύσιν, μηδὲ ψευσθῆναι ποιήσῃς τῶν ἐλπίδων τοὺς ἐπὶ σοὶ μέγα φρονοῦντας, ἀλλ' ὑπερ-1417 βάλλεσθαι πειρῶ τῇ σαυτοῦ δυνάμει τὴν τῶν εὐνουστάτων ἐπιθυμίαν. (53) Καὶ νόμιζε τοὺς μὲν ἄλλους λόγους, ὅταν ἐπιεικῶς ἔχωσι, τοῖς εἰποῦσι δόξαν περιτιθέναι, τὰς δὲ συμβουλίας τοῖς πεισθεῖσιν ὠφέλειαν καὶ τιμὴν προσάπτειν. καὶ τὰς μὲν περὶ τῶν ἄλλων κρίσεις τὴν αἴσθησιν ἣν ἔχομεν δηλοῦν, τὰς δὲ τῶν

† fort. del ἐὰν

et humaniter administravit et dominatus est, ut ejus memoria ad omnes perlata sit. Is igitur quum sperneretur initio, e Platonis congressibus tantam auctoritatem est adeptus. (47) Neque horum quicquam sine ratione factum est. imo longe esset absurdius, si ad parva quædam perficienda nobis scientiæ et exercitationis opus esset adminiculis, res vero maximæ nullum hujusmodi laborem postularent. Ac de his quidem plura dicere non video quorsum attineat. neque enim initio sic in hanc mentionem, quasi ea tu prorsus ignorares, sum ingressus, sed hujus generis exhortationibus ignaros excitari, scientes inflammari existimans. (48) Ne vero putes me, quod ista dixerim, de me polliceri tibi doctrinam harum rerum. neque enim me fateri pudet, ipsi mihi adhuc multa esse discenda, atque ipsum certatorem esse vulgarem quam ceteris eam doctrinam tradere malle. neque autem hæc expono quasi aspernarer eam, quæ sapientiæ et eloquentiæ magistris proposita est, gloriam, sed quia, quod dico, verum est. (49) persuasum enim mihi habeo, multos ex obscuris et contemptis per hoc negotium illustres esse factos, ac Solonem et viventem et mortuum maxima gloria floruisse, cui quanquam reliqui honores negati non fuerunt, sed et fortitudinis suæ tropæum de Megarensibus monumentum reliquit, et consilii, Salaminis recuperationem, (50) et ceteris in rebus sapientiæ, leges, quibus etiam hodie plurimi Græcorum constanter utuntur, tamen tot ornamentis cumulatus, nihil perinde studuit atque ut in septem sapientium numerum referretur, existimans sapientiæ studium non probro cuiquam, sed laudi omnibus esse dandum, in quo ipso æque recte sensit, ut in ceteris, in quibus excelluit.

51. Atque ego nec ipse aliter sentio, et tibi philosophandum censeo, non obliviscendum, quantis bonis cumulatus sis, quæ hanc ipsam ob causam ego quoque orationis initio commemoravi, non tam quidem, ut laudatione ingenii tui animum tuum mihi conciliarem, quam ut magis te ad philosophiam adhortarer, si [ut] eam non parvi ducas, nec præsentibus bonis elatus, futura negligas. (52) Neque vero, si iis præstas, quibuscum vivis, reliquis esse præstantior studere noli, sed existima eximium esse excellere inter omnes, magisque expedire, si ei rei studere videris, quam si in vulgaribus emines, neve ingenium tuum dedecora, neque eorum, qui de te sibi magna pollicentur, spem frustrare, imo tuis viribus vincere studeas benevolentissimorum desiderium. (53) Atque existima reliquas orationes, si mediocriter placeant, oratoribus esse gloriæ, præceptiones autem iis, qui pareant, usui esse atque honori, et judicia de reliquis rebus animi nostri sensum

BnF MSS

Fichier issu d'une page EMAN : http://eman-archives.org/Foucault-fiches/items/show/16904?context=pdf

Fichier issu d'une page EMAN : http://eman-archives.org/Foucault-fiches/items/show/16904?context=pdf